www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΗΦΩΝΟΣ

## ΤΟΥ ΝΕΟΥ ΚΟΙΝΟΒΙΑΡΧΟΥ

Κτίτορος ἱερῶν Μονῶν ἐν ταῖς νήσοις τοῦ Αἰγαίου
καὶ τῆς τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου ἐν Σκιάθῳ.



ΑΘΗΝΑΙ 2001

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΗΦΩΝΟΣ

## ΤΟΥ ΝΕΟΥ ΚΟΙΝΟΒΙΑΡΧΟΥ

**Κτίτορος ἱερῶν Μονῶν ἐν ταῖς νήσοις τοῦ Αἰγαίου καὶ τῆς τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου ἐν Σκιάθῳ.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

****************************************

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Νεολαμπέστατον ἄστρον
Χριστοῦ τῆς πίστεως,
ἐν νήσοις τοῦ Αἰγαίου
τηλαυγῶς ἀνατείλαν
καὶ πᾶσαν τὴν Ἑλλάδα θεολαμποῦς
ἀστραπαῖς καταυγάσαντα,
Νήφωνα, μέλψωμεν ᾄσμασι καὶ ᾠδαῖς
ὡς Ἀγγέλων ἰσοστάσιον.

Ἐν τῇ Σκιάθῳ σεμνεῖον
λαμπρὸν ἐδόμησας
τῆς Εὐαγγελιστρίας,
θεοφόρητε Νήφων,
ἀσκήσεως κινύρα, ὅ προσευχῆς
ἐργαστήριον ἔδειξας

www.tezaurliturgic.ro

ἀδιαλείπτου καὶ τέμενος ἀγωγῆς
ἀκραιφνοῦς, πάτερ ἰσάγγελε.

Τὸν μαθητὴν τῶν μεγάλων
πατέρων μέλψωμεν
σοφοῦ Ἁγιορείτου
Νικοδήμου, Παρίου,
σεπτοῦ Ἀθανασίου καὶ ἱεροῦ
Μακαρίου, περίδοξον
Νήφωνα, κλέος ἁπάντων ἡσυχαστῶν
Ἐκκλησίαν τὸν λαμπρύναντα.

Τῆς νήσου Χίου τὸν γόνον
τὸν ἐξανθήσαντα
ἐν Ὄρει τῷ Ἁγίῳ
ἄρτι, Νήφωνα, πάντες,
βλαστοὺς χρηστοηθείας, ὑπακοῆς,
προσευχῆς, κατανύξεως
καὶ ταπεινώσεως μέλψωμεν εὐλαβῶς,
ὥσπερ μέροπα οὐράνιον.

**Δόξα. Ἦχος β΄.**

Ὅσιε πάτερ, Νήφων μακάριε,
ὁ μονοχίτων καὶ ἀνυπόδητος, Θεῷ εὐηρέστησας
τῇ καθαρᾷ πολιτείᾳ καὶ ἀσκήσεως τρόποις σου
ἐν Ἄθωνι καὶ νήσοις τοῦ Αἰγαίου ἀρτίως·
ὅθεν τὴν σὴν μνήμην γεγηθότες τελοῦμεν
καὶ μεγαλύνοντες τοὺς τιμίους μόχθους σου πρὸς θέωσιν
Χριστὸν τὸν Θεὸν ἡμῶν δοξάζομεν
τὸν λαμπρῶς καὶ ἀξίως σε δοξάσαντα.

**Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.**

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος
ἐκ τῆς ἁγίας Παρθένου
πεφώτισται τὰ σύμπαντα.
Ποιμένων γὰρ ἀγραυλούντων
καὶ Μάγων προσκυνούντων,
Ἀγγέλων ἀνυμνούντων,

www.tezaurliturgic.ro

Ἡρώδης ἐταράττετο·
ὅτι Θεὸς ἐν σαρκὶ ἐφάνη
Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαίροις, τῶν νεαυγῶν
πατέρων κοσμιότης,
πνευματοφόρε Νήφων,
οἰκῆτορ καὶ κοσμῆτορ
Σκιάθου ἐνθεώτατε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἤγειρας εὐλαβῶς
ἐν νήσοις τοῦ Αἰγαίου
τῇ Εὐαγγελιστρίᾳ
Κυρίᾳ Θεοτόκῳ
σεμνεῖα, Νήφων ὅσιε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ὅσιε ἀσκητά,
ἀμείβων σοὺς καμάτους
ἀσκητικοὺς ὁ Κτίστης
ἀξίως , θεοφόρε,
σέ, Νήφων, ἐθαυμάστωσε.

**Δόξα. Τριαδικόν.**

Νήφωνος ταῖς λιταῖς,
Τριὰς ὑπεραγία,
Πάτερ, Υἱὲ καὶ Πνεῦμα,
ἐλέησον τὸν κόσμον
ἀεὶ δοξολογοῦντά σε.

**Καὶ νῦν. Θεοτοκίον.**

www.tezaurliturgic.ro

Πάντας τοὺς εὐλαβῶς,
ἁγνὴ Θεογεννῆτορ,
πληθὺν σῶν θαυμασίων
ὑμνοῦντας ἐν τῇ σκέπῃ
τῶν σῶν πτερύγων φύλαξον.

**Νῦν ἀπολύεις.....τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

***************************************

## ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ , εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.**

Ταπεινώσεως ἄγαλμα,
διακρίσεως μάργαρον
τῆς ἀδιαλείπτου εὐχῆς μυράλειπτρον
καὶ οἰκητήριον νήψεως
χρυσότευκτον, ὅσιε
Νήφων, πᾶσι τηλαυγῶς
ὥσπερ Ἄγγελος ἔλαμψας
καὶ κατηύγασας
ἀρετῶν σου ἀκτῖσι πᾶσαν κτίσιν
τὴν τιμῶσαν σοὺς ἀγῶνας
τοὺς πανιέρους πρὸς θέωσιν.

Τὸ περίδοξον βλάστημα
νήσου Χίου ἀνθήσαντα
ἐν ἐσχάτοις ἔτεσι καὶ μυρίσαντα
ἀσκητικοῖς κατορθώμασιν
ὑφήλιον ἅπασαν,
Ἀθωνίτην μοναστὴν,
θεοφώτιστον Νήφωνα
ἐπαινέσωμεν
μελῳδήμασι θείοις καὶ παντέρπνοις

ἐφυμνίοις, ὡς ἀζύγων
νεοφανῶν ἀγαλλίαμα.

Τῆς τοῦ κόσμου συγχύσεως
ὑπερόπτην τὸν ἔνθεον
Νήφωνα, εὐσχήμως ἐγκωμιάσωμεν
τὸν ἐποφθέντα ἀρχέτυπον
ἀόκνου ἀσκήσεως,
ἀσιγήτου προσευχῆς,
ἀσιτίας καὶ νήψεως
πόθῳ κράζοντες·
ὁ ἐν χρόνοις ἐσχάτοις τῶν ἀρχαίων
ἀναζωγραφήσας βίον
πατέρων, χαῖρε, πανεύφημε.

Ἐν Σκιάθῳ ἐδόμησας
Μάνδραν, Νήφων, περίλαμπρον,
Εὐαγγελιστρίᾳ τῇ Θεομήτορι,
ἣν προσευχῆς ἐργαστήριον
ἀνέδειξας πάντιμον
καὶ ἀσκήσεως λαμπρᾶς
ἱερώτατον τέμενος· ὅθεν σήμερον
τὴν ἁγίαν σου μνήμην ἐκτελοῦντες
Ἰησοῦν τὸν γεννηθέντα
ἐν Βηθλεὲμ μακαρίζομεν.

Γεωργὸς ὡς ἀκάματος
τῶν ψυχῶν, Νήφων ὅσιε,
ἀφθαρσίας ἄσταχυν ἐγεώργησας
τῇ γεωργίᾳ τῇ κρείττονι
καὶ γέγονας πρότυπον
ἀσκητῶν θεοειδῶν
αἰτουμένων τελείωσιν
ἐν τοῖς ἔτεσι
τοῖς ἐσχάτοις, θεόφρον Ἀθωνῖτα,
ὁ ποθῶν ἐν βίῳ μόνον
προσομιλεῖν τῷ Παντάνακτι.

Συμπαθείας πρὸς πάσχοντας
καὶ πτωχοὺς ἄκρον ἄωτον,

www.tezaurliturgic.ro

ἐκ τοῦ ὑστερήματος πᾶσι πένησιν
ἐδίδους καὶ χρείαν ἔχουσι,
σεπτὲ Νήφων, ὅσιε,
καὶ τῶν λόγων σου φωτὶ
τοὺς ἐν σκότει καθεύδοντας
καθωδήγησας
πρὸς ἀνέσπερον φέγγος σωτηρίας
καὶ νομὰς χαρᾶς ἀφθίτου
καὶ ἀϊδίου τερπνότητος.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἡσυχαστῶν νεοφανῶν τὸν κοσμήτορα,
τὸ εὔχρηστον σκεῦος τῶν δωρεῶν τοῦ θείου Πνεύματος ,
καὶ φιλανθρωπίας καὶ νήψεως τὸν γνώμονα,
Νήφωνα τὸν σεπτόν, μακαρίσωμεν·
οὗτος γὰρ ὡς ἐρήμου πολίτης καὶ τῶν πάλαι ἀσκητῶν ὁμόζηλος
ἐν Ἄθωνι τὴν κλίμακα τῶν ἀρετῶν ἀνῆλθε
και ἐν ταῖς νήσοις τοῦ Αἰγαίου κοινόβια λαμπρὰ ἐσύστησε·
καὶ νῦν Χριστῷ τῷ Θεῷ ἡμῶν παριστάμενος
ἀδιαλείπτως Αὐτῷ πρεσβεύει
ὑπὲρ τῆς ἐν Χριστῷ τελειώσεως πάντων τῶν εὐσεβούντων
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.**

Χορεύουσι πάντες ἐν οὐρανῷ
καὶ ἀγάλλονται σήμερον·
σκιρτᾷ δὲ πᾶσα ἡ κτίσις
διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ
Σωτῆρα Κύριον·
ὅτι πᾶσα πλάνη τῶν εἰδώλων πέπαυται
καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

**Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ;Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα

**Ἦχος α΄.**

Παύσασθε τὰς τρικυμίας ὕδατα τοῦ Αἰγαίου
καὶ ἐν ἠρεμίᾳ καὶ γαλήνῃ τιμήσατε
τὸν νέον κοινοβιάρχην, ὅσιον Νήφωνα,
τὸν ἀρτίως πολλάκις ὑμᾶς διαπλεύσαντα·
οὗτος γὰρ ἀκατάσειστος κρηπὶς προσευχῆς ὀφθεὶς καὶ νήψεως
ἐν Λειψοῖς καὶ Πάτμῳ καὶ Ἰκαρίᾳ καὶ Σκιάθῳ
μονὰς περιδόξους τῇ Εὐαγγελιστρίᾳ Θεοτόκῳ ἐδόμησε·
καὶ νῦν σὺν Ἀγγέλων χορείαις εὐφραινόμενος ἐν πόλῳ δόξης
Χριστῷ τῷ Παμβασιλεῖ καὶ Θεῷ ἡμῶν πρεσβεύει
ὑπὲρ τῶν ψυχῶν τῶν τιμώντων ἐν ᾄσμασιν
αὐτοῦ τὴν πανίερον ἄσκησιν.

**Ἦχος β΄.**

Ὁσιότητος κέρας, Νήφων παμμακάριστε,
τῆς ἀφιλαργυρίας κανὼν ἀκριβέστατε,
τὴν ἀρετὴν ἐπιμελῶς ἤσκησας
καὶ Χριστοῦ ἀκλινῶς τὰ ἐντάλματα τηρήσας
ὄργανον γέγονας τοῦ παναγίου Πνεύματος·
ἀνελθὼν οὖν πασῶν τῶν ἀρετῶν τὰς βαθμίδας
ἐκομίσω θεϊκῶν χαρισμάτων τὴν ἐνέργειαν
ὥστε πᾶσαν νόσον θεραπεύειν
δαιμόνων πλῆθος ἐκδιώκειν

www.tezaurliturgic.ro

καὶ πρεσβεύειν ἀπαύστως
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος γ΄.**

Τὸν ἰσαγγέλως πολιτευσάμενον ἐν τοῖς ἐσχάτοις χρόνοις
καὶ ζηλωτὴν ὀφθέντα τῶν ἀῤῥεύστων καὶ αἰωνίων
Νήφωνα τὸν νεαυγέστατον ὅσιον
καθηκόντως οἱ πιστοὶ εὐφημήσωμεν·
οὗτος γὰρ ὑπερφυεῖς διανύσας ἀγῶνας
ἐν Ἄθωνι καὶ νήσοις τοῦ Αἰγαίου
ἀνενδότως ἐπάλαισε πρὸς τὰς ἐξουσίας τοῦ σκότους
τοῦ παρόντος αἰῶνος·
προσενεγκὼν οὖν ὡς δῶρον τῷ Κυρίῳ
τοὺς ἱδρῶτας τῶν ἀσκητικῶν αὐτοῦ καμάτων
ἀντεδοξάσθη παρὰ Κυρίου,τοῦ νέμοντος ἀξίως τὰ γέρα
καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

**Ἦχος δ΄.**

Τὴν ἐτήσιον μνήμην σου σὺν τῇ τοῦ Χριστοῦ ἐνσαρκώσει
χαρμονικῶς ἑορτάζομεν σήμερον, Νήφων, πάτερ ὅσιε,
κοινοβιάρχα νεολαμπέστατε·
εὐλαβῶς γὰρ αἰνοῦντες τοὺς νυχθημέρους σου πόνους
πρὸς δόξαν τοῦ Θεανθρώπου Κυρίου
καὶ ἐν Αὐτῷ τελείωσιν
θείας εὐφροσύνης πληρούμεθα
καὶ ἐν κατανύξει ψυχῆς βοῶμεν·
πάρεσο καὶ νῦν ἀοράτως
λυτρούμενος ἡμᾶς ἐκ πειρασμῶν καὶ θλίψεων
καὶ σῴζων ἐκ τῆς ἐπιβουλῆς τοῦ Βελίαρ
τοὺς μεγαλύνοντας πόθῳ τὰ σεπτὰ σου παλαίσματα.

**Δόξα. Ἦχος πλ. α΄.**

Ἔρωτι φλεγόμενος Κυρίου τὴν καρδίαν
κατέλιπες Χίον, τὴν σεμνυνομένην τοῖς σοῖς σπαργάνοις
καὶ Ἄθωνα ᾤκησας, Νήφων πανθαύμαστε·
ἐν αὐτῷ γὰρ νηστείᾳ ἐπιμόνῳ καὶ προσευχῇ ἀδιαλείπτῳ
τὴν σάρκα ἐνέκρωσας σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις·

www.tezaurliturgic.ro

ζωώσας οὖν τὸ πνεῦμα
Ἀγγέλων δήμοις ἠξιώθης διὰ παντὸς αὐλίζεσθαι
καὶ πρεσβεύειν Κυρίῳ ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.**

Μάγοι Περσῶν Βασιλεῖς ἐπιγνόντες σαφῶς
τὸν ἐπὶ γῆς τεχθέντα Βασιλέα οὐράνιον
ὑπὸ λαμπροῦ ἀστέρος ἑλκόμενοι
ἔφθασαν εἰς Βηθλεὲμ
δῶρα προσφέροντες ἔγκριτα,
χρυσὸν καὶ λίβανον καὶ σμύρναν·
καὶ πεσόντες προσεκύνησαν·
εἶδον γὰρ ἐν τῷ Σπηλαίῳ
βρέφος κείμενον τὸν Ἄχρονον.

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, τῆς νήσου Χίου βλαστέ,
Ἁγίου Ὄρους πολυτίμητον κόσμημα
καὶ νήσων Αἰγαίου κλέος,
ὁ δι' ἀγώνων λαμπρῶν
ἐν ἐσχάτοις χρόνοις,
Νήφων ὅσιε,
εἰς πλάτος θεώσεως
καταντήσας περίβλεπτον·
διό σε πάντες
εὐλαβῶς μακαρίζοντες
τοὺς καμάτους σου
ἐπαινοῦμεν πρὸς θέωσιν
καὶ εὐθαρσῶς κραγάζομεν·
σεμνότητος πρόβολε,
ἴσθι ἡμῶν ἀντιλήπτωρ
καὶ βοηθὸς ἐν τοῖς κλύδωσιν
ἀνύστακτος βίου,
τῶν ἐν πίστει αἰτουμένων
σὴν θείαν εὔνοιαν.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

www.tezaurliturgic.ro

Χαίροις ἀδιαλείπτου εὐχῆς
καὶ ἀπαθείας θησαυρὸς ὁ πολύολβος,
ὁ ὅσιος Ἀθωνίτης
ἐν τοῖς ἐσχάτοις καιροῖς
ἀνελθὼν εἰς ὕψος
δυσαντίβλεπτον
Θεοῦ ἐπιγνώσεως
καὶ θεώσεως, ἅγιε,
ἔνθεν πυξία
θείας χάριτος εἴληφας,
Νήφων ἔνδοξε,
ἰσουράνιε ἄνθρωπε·
ὅθεν νῦν εὐφημοῦντές σου
τὴν μνήμην γηθόμενοι
τὴν παμφαῆ καὶ φωσφόρον
ἐκδυσωποῦμέν σε· λύτρωσαι
κινδύνων παντοίων
καὶ ἐχθίστου ἐπηρείας
τοὺς σοὶ προσφεύγοντας.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις, ὁ ἐν ἀσκήσει λαμπρᾷ
ἀρχιπελάγους ἐν ταῖς νήσοις, θεσπέσιε,
συντρίψας τοῦ μισοκάλου
τὴν μυσαρὰν κεφαλὴν
καὶ τῆς εὐσεβείας
στήσας τρόπαιον·
πατέρων ἀκρώρεια,
προεστώτων εὐπρέπεια,
ἀκτημοσύνης,
προσευχῆς, ταπεινώσεως
καὶ ἀσκήσεως
ἀκραιφνοῦς στηλογράφημα,
πρέσβευε τῷ Παντάνακτι
ὑπὲρ τῶν ὑμνούντων σου
τὴν πανακήρατον μνήμην
ᾠδαῖς εὐτάκτοις καὶ ᾄσμασι
καὶ δόξαν πεμπόντων
τῷ ἐν χρόνοις τοῖς ἐσχάτοις
σὲ ἁγιάσαντι.

www.tezaurliturgic.ro

**Δόξα. Ἦχος δ΄.**

Τὸν ταμειοῦχον τῆς χάριτος
καὶ σύνοικον πρακτικῆς σοφίας,
Νήφωνα τὸν νέον κοινοβιάρχην,
ἀξιοχρέως εὐφημήσωμεν·
οὗτος γὰρ ἱδρώτων χεύμασι καὶ παννύχοις δεήσεσι
τὴν σάρκα κατέτηξε καὶ τὸν νοῦν ἐζώωσε
ποθεῖν μόνον τὸν Κύριον·
καὶ νῦν σὺν Ἀγγέλων συγχορεύων δήμοις
ἀδιαλείπτως Χριστῷ τῷ Θεῷ ἡμῶν πρεσβεύει
ἡμῖν καταπέμψαι τὸ πλούσιον ἔλεος.

**Καὶ νῦν. Ὁ αὐτός, Τῆς Ἑορτῆς.**

Σπηλαίῳ παρῴκησας, Χριστὲ ὁ Θεός,
φάτνη ὑπεδέξατο,
Ποιμένες δὲ καὶ Μάγοι προσεκύνησαν.
Τότε δὴ τῶν Προφητῶν ἐπληροῦτο τὸ κήρυγμα·
καὶ Ἀγγέλων αἱ δυνάμεις ἐθαύμαζον
βοῶσαι καὶ λέγουσαι·
Δόξα τῇ συγκαταβάσει Σου, μόνε Φιλάνθρωπε.

**Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἀρετὴν τὸν ἀρτίως φιλοῦντα, νήφοντα
καὶ τῶν πατέρων τῶν πάλαι
ἀσκητικὴν ἀγωγὴν
τὸν ζηλοῦντα, θεῖον Νήφωνα, τιμήσωμεν
φάρον ὡς νήσων τηλαυγῆ
τοῦ Αἰγαίου ἀστραπαῖς
φωτίζοντα εὐσεβείας
ψυχὰς τὰς ἐζοφωμένας
θερμὰς αὐτοῦ λιτὰς αἰτούμενοι.

**Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Νήσου Χίου τὸν γόνον, ὄρους Ἄθωνος ἄνθισμα
καὶ ἡδύπνουν νήσων Αἰγαίου ἄνθος ὕμνοις τιμήσωμεν,

www.tezaurliturgic.ro

τὸν κτίτορα τοῦ Εὐαγγελισμοῦ
μονῆς ἐν τῇ Σκιάθῳ τῆς λαμπρᾶς,
θεῖον Νήφωνα, ἐκθύμως
ὡς ἀσκητὴν θεόπνουν ἀνακράζοντες·
Δόξα, τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα, τῷ σὲ στεφανώσαντι,
δόξα τῷ δεδοκότι σοι ἡμῖν
πρέσβυν ἀκοίμητον.

**Καὶ τὸ τῆς Ἑορτῆς. Ἡ γέννησίς Σου, Χριστὲ ὁ Θεὸς ἡμῶν,...**

**Ἀπόλυσις**

*****************************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον Σου, Σωτήρ.**

Ὁσίων ἀσκητῶν
ἐγκαλλώπισμα νέων,
πατέρων νηπτικῶν
ὁ βαδίσας τὰς τρίβους
ἐσχάτοις ἐν ἔτεσι,
Νήφων πνευματοφόρητε,
καὶ εἰς ἄῤῥητον
καὶ δυσθεώρητον ὕψος
τελειώσεως
τῆς ἐν Χριστῷ καταντήσας,
ἡμῶν ἴσθι πρόμαχος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.**

Ἐτέχθης ἐν σαρκὶ
ἐξ ἁγίας Παρθένου
ἀτρέπτως, Βασιλεῦ,
Βηθλεὲμ ἐν Σπηλαίῳ·
διὸ ὕμνον μεθέορτον

www.tezaurliturgic.ro

τῇ ἀφράστῳ κυήσει σου
ἀναμέλποντες
δοξολογοῦμεν, Οἰκτίρμον,
τὸ Σὸν ἔλεος,
δι᾽ οὗ τῆς πάλαι κατάρας
ἡμᾶς ἠλευθέρωσας.

**Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.**
**Ἦχος γ΄. Ἡ παρθένος σήμερον.**

Ἀρετῆς καὶ νήψεως τὸν ταμειοῦχον πατέρα,
τὸν ἀρτίως λάμψαντα μαρμαρυγαῖς ἀκτησίας
μέλψωμεν καὶ ἀπαθείας λαμπραῖς ἀκτῖσι
κράζοντες· Νήφων, ὁσίων πατέρων εὖχος,
ὁ τῇ Εὐαγγελιστρίᾳ
Μονὰς δομήσας, χαῖρε, σοφὲ ἀσκητά.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.**

Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει
καὶ ἡ γῆ τὸ Σπήλαιον τῷ ἀπροσίτω προσάγει.
Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι,
Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι·
δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη Παιδίον νέον,
ὁ πρὸ αώνων Θεός.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα τῆς παρθενίας σου.**

Θρέμμα τὸ κάλλιστον τῆς Χίου μέλψωμεν,
τὸν ἐνθεώτατον Ἄθωνος ἔνοικον,
τὸν κορυφαῖον ἀσκητὴν τῶν νήσων Αἰγαίου πόθῳ
πάντες εὐφημήσωμεν εὐλαβῶς ἀνακράζοντες·
θησαυρὲ πολύολβε ἀκτησίας καὶ νήψεως
μὴ παύσῃ δυσωπῶν ὑπὲρ πάντων
Κτίστην τὸν θεῖον, Νήφων μάκαρ.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.**

**Ὁ** ἀναλλοίωτος καὶ ὑπερούσιος
Λόγος τοῦ Κτίσαντος, δι' ἀγαθότητα
ἐν τοῖς ἐσχάτοις τοῖς καιροῖς ἐτέχθης ἐκ τῆς Παρθένου
ἐν Σπηλαίῳ, Κύριε, Βηθλεὲμ τὸ σμικρότατον,
ὁ συνέχων σύμπαντα τῇ παλάμῃ σου ἅπαντα·
διὸ σὺν τοῖς Ποιμέσι καὶ Μάγοις
πίστει θερμῇ Σε προσκυνοῦμεν.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον Ὁσιακόν.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄**

**Τ**ὸν ἀφυλάργυρον καὶ ἀκτήμονα πατέρα,
τὸν συμπαθοῦντα τοὺς πένητας καὶ κάμνοντας
καὶ ἀξιωθέντα κοινόβια στῆσαι ἐν Αἰγαίῳ περίλαμπρα,
Νήφωνα τὸν ὅσιον, οἱ πιστοί, ἀξιοχρέως μακαρίσωμεν κράζοντες·
ἐνδιαίτημα τῆς Χριστοῦ ἀγαπήσεως
καὶ οἰκητήριον τοῦ παναγίου Πνεύματος,
πρεσβείαις σου κατεύθυνον τὰ διαβήματα τῶν τιμώντων σε
πρὸς τῶν θείων ἐντολῶν ἐργασίαν
καὶ δι' αὐτῆς πρὸς ζωὴν τὴν ἐν Χριστῷ αἰωνίζουσαν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·**
**" Νήφωνα νέον μέλπω τὸν πνευματοφόρον. Χ."**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

**Ν**αὸν ταπεινώσεως
τὸν ἐποφθέντα καὶ νήψεως
τιμήσωμεν Νήφωνα

www.tezaurliturgic.ro

τὸν νεαυγῆ ἀσκητήν,
ὡς περίβλεπτον
εὐχῆς ἀδιαλείπτου
παλάτιον κράζοντες·
Χαῖρε, μακάριε.

Ἡ πάνσεπτος μνήμη σου
ἡμᾶς συνήγαγε σήμερον
πρὸς αἴνεσιν μόχθων σου
ἀσκητικῶν, εὐκλεὲς
Νήφων, ὅσιε,
σεπτὲ κοινοβιάρχα,
Μονῶν τῆς Θεόπαιδος
κτίτορ θειότατε.

Φωτὶ θείου Πνεύματος
καταλαμφθεὶς τὴν διάνοιαν
τὸν κόσμον κατέλιπες
καὶ τὰ ἡδέα αὐτοῦ
ἐν νεότητι
καὶ Ἄθωνος τὸ Ὄρος
κατέλαβες, πάνσοφε
Νήφων, ἀοίδιμε.

**Θεοτοκίον**

Ὡς σκήνωμα χάριτος
σὲ ἀκλινῶς μακαρίζομεν,
πανάμωμε Δέσποινα,
τὸν Ζωοδότην Χριστὸν
τὴν κυήσασαν
χαρᾶς τὸν παροχέα
ἡμῶν, Μητροπάρθενε,
καὶ βίου κρείττονος.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Νικήσας ἐχθρὸν τὸν παλαμναῖον
ἐκ χρόνων νεότητος τῆς σῆς
συνηριθμήθης, ὅσιε,

Ἁγίων τοῖς στρατεύμασι
τῶν νεαυγῶν καὶ γέγονας
ἡμῶν μεσίτης πρὸς Κύριον.

Ἀπαύγασμα βίου ἐναρέτου,
κατέλιπες Πόλιν τὴν κλεινὴν
τῆς Κωνσταντινουπόλεως,
ὡς εἶδες θανατούμενον
ἀδίκως, Νήφων ὅσιε,
ὑπὸ ἀπίστων χριστώνυμον.

Νῦν πάντες τελοῦντες τὴν σὴν μνήμην
τὴν πάμφωτον, Νήφων, ἐν ᾠδαῖς
καὶ ᾄσμασι δοξάζομεν
τὰ σὰ λαμπρὰ παλαίσματα
ἐν τῷ Αἰγαίῳ, ὅσιε,
πρὸς ἐν Κυρίῳ τελείωσιν.

**Θεοτοκίον**

Ἐπάκουσον σοῦ τῶν δεομένων
καὶ μάκτρῳ τῶν σῶν ἱκεσιῶν
ἀπόσμηξον, Μητρόθεε,
ῥανίδας μου τῶν θλίψεων,
ἵνα ὑμνῶ σε πάντοτε
τὴν ἀῤῥαγῆ προστασίαν μου.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Τῶν ἱδρώτων σου ῥοαῖς Αἰγαίου
καθηγίασας τὰς νήσους ἄρτι
θεοφόρε Νήφων, θεῖον ὡράϊσμα
τῶν εὐλαβῶς ἀσκουμένων καὶ καύχημα
τῆς Ἐκκλησίας Χριστοῦ πολυτίμητον·
ὅθεν σήμερον τὴν μνήμην σου ἑορτάζοντες
Χριστὸν τὸν σὲ δοξάσαντα δοξάζομεν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς.**

www.tezaurliturgic.ro

Ὡς ηὐδόκησας σαρκὶ ἐτέχθης
ἐκ Θεόπαιδος ἁγνῆς Παρθένου
ἐν Σπηλαίῳ Βηθλεέμ, Λόγε Κτίσαντος,
ὡς ταπεινὸς καὶ ἀνθρώπων ὁ ἔσχατος,
ὁ ὑπ᾽ Ἀγγέλων ἀπαύστως ὑμνούμενος,
ἀγαθότητι τῇ σῇ ἵνα γένος βρότειον
θεώσῃς, τὸ λαμπραῖς ᾠδαῖς δοξάζον σε.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξει.**

Οὐρανῶν λαμπρὰς ἐπάλξεις,
Νήφων μάκαρ, κατέλαβες
ὡς σεπτῶν πατέρων
πάντων τῶν αἰώνων ὁμόζηλος,
καὶ συνεχοῦς μυστηρίων μεταλήψεως
ὁ ὑπέρμαχος,
πνευματοφόρε διδάσκαλε.

Νῦν τῇ Εὐαγγελιστρίᾳ
Θεοτόκῳ τὸν κτίσαντα
Μάνδρας περιβλέπτους,
Νήφωνα τὸν θεῖον, τιμήσωμεν
ὡς Παντοκράτορος Σκήτεως οἰκήτορα
μαθητεύσαντα
τῷ Νικοδήμῳ τῷ μάκαρι.

Μονοτρόπων ὑφηγῆτορ,
οὐρανίου φρονήματος
ὢν πεπληρωμένος
σεαυτὸν εὐχῆς ἐργαστήριον
ἀδιαλείπτου ἐποίησας καὶ εἵλκυσας
θείου Πνεύματος
τὴν χάριν, Νήφων μακάριε.

**Θεοτοκίον**

Ἐξ ἀχράντου σου νηδύος
ὁ Σωτὴρ κόσμου ἔλαμψε,
Κεχαριτωμένη,

Ὅν ἐν Βηθλεὲμ ἄντρῳ ἔτεκες
καὶ Ὅν ποιμένες ἐλθόντες προσεκύνησαν
ὡς Θεάνθρωπον
τὸν ὑπ' Ἀγγέλων ὑμνούμενον.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Λαμπόμενος χάρισιν
ὑπομονῆς ὑπέρτερος
ὤφθης πάντων τῶν συμμοναστῶν σου
ἐν ὄρει Ἄθῳ
καὶ ποδηγὸς ἀπλανὴς
ἀζύγων τῶν σῶν, πανευκλεές,
κοινοβίων, ὅσιε,
Νήφων, πίστεως σέμνωμα.

Πατέρων διάκοσμε
τῶν θεοφόρων, ὅσιε
Νήφων, ἀπλανὲς οἰακοστρόφε
νηὸς Μονῶν σου,
σεπτῶν ἀζύγων χοροὺς
κατηύθυνας πρὸς τῆς ἀρετῆς
ἀτραποὺς καὶ θέωσιν·
ὅθεν πάντες τιμῶμέν σε.

Ὡς νήψεως ἔκτυπον,
Σκιάθου τὸ χριστώνυμον
πλῆθος κατεφώτισας βολαῖς σου
φιλευσπλαγχνίας
καὶ συμπαθείας πολλῆς,
οἱ ἔκγονοι οὗ νῦν εὐλαβῶς
μνήμην σου γεραίρουσι
τὴν λαμπράν, Νήφων πάμφωτε.

**Θεοτοκίον**

Τὸν νοῦν μου ἀπόπλυνον
τοῦ ῥύπου ἁμαρτάδων μου,
Κεχαριτωμένη Θεοτόκε,
θερμῶν εὐχῶν σου
ῥανίσι καὶ τῆς χαρᾶς

www.tezaurliturgic.ro

ἀξίωσον πάντας οὐρανῶν
σὲ τοὺς μακαρίζοντας,
ἀειπάρθενε Δέσποινα.

**Ὠδὴ στ´. Τὴν θείαν ταύτην.**

Ὁσίων τρόπους μιμούμενος
τῶν πάλαι ἐν ἐσχάτοις τοῖς ἔτεσιν
αὐτῶν ἰσότιμος
ἐδείχθης καὶ ἰσοστάσιος,
πνευματοφόρε Νήφων,
λαμπὰς ἀσκήσεως.

Νηστείας καὶ ἐγρηγόρσεως
λαμπρότης, Νήφων, ἄρτι τοῖς πένησιν
ἐξ ὑστερήματος
τοῦ σοῦ ἀφθόνως ἐσκόρπισας,
ὡς ἱλαρὸς τῷ ὄντι
δοτὴρ, εὐΐλατε.

Πυρσεύσας τὸ ἀρχιπέλαγος
καμάτων φωταυγείᾳ τῶν θείων σου
ἀρτίως ἔλαμψας
Νήφων, ὡς πάμφωτος ἥλιος
εὐχῆς ἀδιαλείπτου
καὶ ταπεινώσεως.

**Θεοτοκίον**

Νῦν ὕμνων ῥόδοις σε στέφοντες
σεμνὴ Εὐαγγελίστρια Δέσποινα,
πιστῶς κραυγάζομεν·
Χαῖρε, τοῦ Νήφωνος κλέϊσμα
καὶ ἀρωγὸς καὶ σκέπη
καὶ θεῖον στήριγμα.

**Κοντάκιον. Ἦχος πλ. δ´. Τῇ Ὑπερμάχῳ.**

www.tezaurliturgic.ro

Τὸν ἐν ἀσκήσει ἀνυστάκτῳ διαλάμψαντα
φωστῆρα Χίου καὶ τοῦ Ἄθωνος ἀμάρυγμα,
φωτιστὴν τῆς Ἰκαρίας, Σκιάθου, Πάτμου,
τῶν Λειψῶν καὶ Σάμου, ὅσιον φιλάρετον
καὶ φιλεύσπλαγχνον πατέρα εὐφημήσωμεν
πόθῳ κράζοντες· Χαίροις, Νήφων μακάριε.

**Ὁ Οἶκος**

Ἄνθρωπος οὐρανόφρων
ἐν ἐσχάτοις τοῖς χρόνοις
ἐδείχθης, πνευματέμφορε Νήφων·
ἰσαγγέλως γὰρ πολιτευθεὶς
Εὐαγγελιστρίᾳ τῇ ἁγνῇ ἤγειρας
Μονὰς καὶ χείλη ἤνοιξας
ἀζύγων ἐκβοᾶν σοι ταῦτα·

Χαῖρε, ὁ πρόβολος ἀκτησίας·
χαῖρε, ὁ σύνοικος τῆς σοφίας..

Χαῖρε, τοῦ Αἰγαίου τῶν νήσων καλλώπισμα·
χαῖρε, τοῦ ἀρίστου ἀγῶνος ἐκτύπωμα.

Χαῖρε, ῥεῖθρον διειδέστατον προσευχῆς καρδιακῆς·
χαῖρε, βάθρον ἀδιάσειστον ἐν δεινοῖς ὑπομονῆς.

Χαῖρε, τῆς ἀκτησίας καὶ τῆς νήψεως σέλας·
χαῖρε, τῆς ἀπαθείας καὶ χρηστότητος κέρας.

Χαῖρε, Σκιάθου λύχνος ἀείφωτος·
χαῖρε, τῆς Χίου γόνος περίβλεπτος.

Χαῖρε, σοφὸς ἀσκητὴς μονοχίτων·
χαῖρε, θερμὸς πρεσβευτὴς σῶν προσφύγων·

Χαίροις, Νήφων μακάριε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΚΗ΄ Δεκεμβρίου. Εἶτα λέγομεν.**
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νήφωνος, τοῦ νέου κοινοβιάρχου, τοῦ Χίου.

**Στίχοι**

Εὐχόμενος ἀεί, ἀσιτῶν καὶ νήφων
διῆλθες τὸν βίον ἄρτι, Νήφων μάκαρ.

**Συναξάριον**

Ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Νήφων πατρίδα ἔσχε τὴν μυροβόλον καὶ ἁγιοτόκον Χίον. Ἐλθὼν εἰς Κωνσταντινούπολιν πρὸς ἀνετωτέραν διαβίωσιν καὶ ἰδὼν χριστιανόν τινα ἐκεῖ ἀπηνῶς φονευόμενον ὑπὸ ἀπίστου ἐταράχθη καὶ ἐζήτει εὐκαιρίαν Θεῷ ἑαυτὸν ἀφιερῶσαι. Καταλαβὼν τὸν Ἁγιώνυμον Ὄρος ἦλθεν εἰς τὴν Σκήτην τοῦ Παντοκράτορος, ἔνθα ἠσκοῦντο τῇ ἀρετῇ οἱ εὐλαβέστατοι τοῦ Ἁγίου Ὄρους, οἱ προμαχοῦντες ὑπὲρ τῆς συνεχοῦς θείας μεταλήψεως, ὧν διδάσκαλοι οἱ Νικόδημος Ἁγιορείτης, Ἀθανάσιος ὁ Πάριος καὶ Μακάριος, ἀρχιεπίσκοπος Κορίνθου. Ἐγερθέντος τοῦ "Κουλλυβαδικοῦ ζητήματος" ὁ Νήφων ἐγκατέλιπεν τὸ Ὄρος καὶ ἐπισκεπτόμενος τὰς μικρὰς νήσους τοῦ Αἰγαίου ἐγείρει ἐν αὐταῖς κοινόβια τῇ Εὐαγγελιστρίᾳ Θεοτόκῳ. Διῆλθεν διὰ τῆς Σάμου, τῶν Λειψῶν, τῆς Πάτμου, τῆς Ἰκαρίας καὶ τέλος τῆς Σκιάθου. Διέλαμψεν ἐπ' ἀρετῇ, νήψει, ταπεινώσει, ἀκτησίᾳ, ἀδιαλείπτῳ προσευχῇ, σκληραγωγίᾳ, ἀφιλαργυρίᾳ καὶ συμπαθείᾳ πρὸς τοὺς πτωχοὺς καὶ τοὺς κάμνοντας. Ἐκοιμήθη ἐν εἰρήνῃ καὶ ἡ μνήμη αὐτοῦ τελεῖται ἰδιαιτέρως ἐν τῇ πατρίδι αὐτοῦ Χίῳ, ἐν Ἰκαρίᾳ καὶ ἐν Σκιάθῳ, ἔνθα καὶ τὸν ἀγῶνα θεοφιλῶς ἐτέλεσε.
Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Ἔχων ἄμετρον
συμπάθειαν πρὸς πένητας
ἐξ ὑστερήματος
τοῦ σοῦ ἐδίδους αὐτοῖς,
δοτὴρ ἱλαρότατε
καὶ εὐσυμπάθητε,
Νήφων ὅσιε,
τῆς πρακτικῆς ὑπόδειγμα
ἀγαπήσεως πρὸς πέλας.

www.tezaurliturgic.ro

Ὕμνοις στέφομεν
τοὺς νυχθημέρους πόνους σου,
οὓς ἔτλης, ὅσιε,
ἐπιποθῶν ἀνελθεῖν
βαθμίδας τῆς κλίμακος
τῆς τελειώσεως,
Νήφων πάνσοφε,
νεολαμπῶν ἐκπύρσευμα
παμφαέστατον πατέρων.

Μνήμην ἄγοντες
πανευλαβῶς τὴν θείαν σου
πανηγυρίζομεν
σῆς ἀκραιφνοῦς βιοτῆς
τὰ σκάμματα, ὅσιε,
πνευματοφόρητε,
καὶ δοξάζομεν
Χριστὸν τὸν σὲ δοξάσαντα,
Νήφων, ᾄσμασιν εὐτάκτοις.

**Θεοτοκίον**

Ἀειπάρθενε,
Θεογεννῆτορ, πρόσδεξαι
δεήσεις δούλων σου
καταφευγόντων πιστῶς
τῇ σῇ θείᾳ χάριτι
καὶ σκέπε πάντοτε
ἐν τῇ σκέπῃ σου
ἀγρύπνου ἀντιλήψεως
καὶ προνοίας σοὺς οἰκέτας.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Τρίβους ἐν Σκιάθῳ διανύσας
ἀμέμπτου διαγωγῆς Μονὴν ἐδόμησας,
Νήφων πνευματέμφορε,
τῇ ἁγνῇ Θεόπαιδι
τῆς Ναζαρέτ, ἣν Ἄγγελος

www.tezaurliturgic.ro

Θεοῦ ἐκόμισε
τὸ ἄγγελμα βουλῆς τοῦ Κυρίου,
ἣ νῦν προσιόντες
πληρούμεθα χαρίτων.

Ὅλος πεπλησμένος τοῦ ἁγίου
ὢν Πνεύματος, ἀσκητὰ θεοφορούμενε,
πρόσκαιρον ἐτέλεσας
βίον ὡς ἀσώματος·
διὸ καὶ κατηξίωσαι
χαρᾶς τῆς κρείττονος
σὺν δήμοις φωτοφόρων Ἀγγέλων
ἐν σκηναῖς δικαίων
τῆς πόλεως τῆς ἄνω.

Φέρων ἀγογγύστως, Νήφων μάκαρ,
ἐπ' ὤμων Σταυρὸν Χριστοῦ τὸν ἐλαφρύτατον
προσευχῆς κατέπαυσας
δώμασι καὶ νήψεως,
ἐξ ὧν ἐπήρθης, ὅσιε,
πρὸς ἐπουράνια
σκηνώματα δοξάζων ἀπαύστως
τῆς Τρισυποστάτου
Θεότητος τὸ κράτος.

**Θεοτοκίον**

Ὄλβε πολυτίμητε καὶ κλέος
τοῦ Νήφωνος τοῦ ὁσίου, Μητροπάρθενε,
πέμψον μοι τὸ ἔλεος
σοῦ Υἱοῦ τὸ ἄμετρον,
ὡς ἄγαν εὐσυμπάθητος,
καὶ κατοικτείρησον
σὸν δοῦλον μεγαλύνοντα πόθῳ
σὲ εἰς τοὺς αἰῶνας,
ἁγνὴ Θεοκυῆτορ.

**Ὠδὴ θ΄. Ἅπας γηγενής.**

www.tezaurliturgic.ro

Ρῦσαι συμφορῶν
καὶ βλάβης τοῦ ὄφεως
τοὺς καταφεύγοντας,
Νήφων παμμακάριστε,
ἀζύγων γέρας, σῇ θείᾳ χάριτι
καὶ ὕμνοις μεγαλύνοντας
τὰ προτερήματα
σῆς ἀμέμπτου
βιοτῆς, ἰσάγγελε,
ἐν ταῖς νήσοις Αἰγαίου, κραυγάζομεν.

Ὄμβρησον ἡμῖν
τοῖς πόθῳ γεραίρουσι
σεπτοὺς καμάτους σου
ὑετὸν συνέσεως,
χρηστοηθείας και ταπεινώσεως
καὶ τὰς ἀνίκμους πίανον
ψυχὰς προσφύγων σου,
ἵνα μνήμην
τὴν σεπτὴν τελοῦμέν σου,
Νήφων ὅσιε, ὕμνοις καὶ ᾄσμασι.

Νεῦσον ταῖς ἡμῶν
θερμαῖς παρακλήσεσι,
πνευματοφόρητε
Νήφων, τῶν προσφύγων σου
κινήσεις παύων
σαρκὸς βοώντων σοι·
ἀκέστορ ἐνθερμότατε
ἡμῶν καὶ στήριγμα
κλονουμένων
πάντων τῷ Παντάνακτι
ὡς θυμίαμα ταύτας προσάγαγε.

**Θεοτοκίον**

Χαῖρε Μαριάμ,
ἁγνὴ ἀειπάρθενε,
Εὐαγγελίστρια,
Νήφωνος ἀγλάϊσμα

www.tezaurliturgic.ro

τοῦ θεοφόρου πατρὸς καὶ καύχημα
βροτῶν ἁπάντων, κράζοντες
παρακαλοῦμέν σε·
μὴ ἐλλίπης
δυσωποῦσα Κύριον
σὸν Υἱὸν ὑπὲρ τῶν εὐφημούντων σε.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Τῆς Χίου τὸ ἐκβλάστημα
καὶ Ἄθωνος ἀνάστημα,
τὸν ἐν ταῖς νήσοις Αἰγαίου
ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις
σεμνεῖα συστησάμενον
τῇ Θεοτόκῳ μέλψωμεν
πνευματοφόρον Νήφωνα,
ὡς ἀρετῆς, συμπαθείας
καὶ ταπεινώσεως λύχνον.

**Τῆς Ἑορτῆς. Ὅμοιον.**

Ἐν τῷ Σπηλαίῳ, Ἄχραντε,
τῆς Βηθλεὲμ ἐγέννησας
τὸν Βασιλέα τῆς δόξης,
καὶ ἐσπαργάνωσας Τοῦτον
ἐν φάτνῃ ὥσπερ νήπιον
Ἀγγέλων ἀνυμνούντων σου
τὸν Τόκον τὸν ἀπόῤῥητον,
δι' Οὗ ἐῤῥύσθημεν, Κόρη,
τῆς παλαιᾶς καταδίκης.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Ὢ, τοῦ παραδόξου θαύματος !**

Χαίροις, νήσου Χίου βλάστημα,
Σκιάθου ἄνθος τερπνόν,
Ἰκαρίας ὡραΐσμα,
Πάτμου ἐγκαλλώπισμα,
τῶν Λειψῶν θεῖον κόσμημα,

καὶ κλέος Σάμου
Νήφων μακάριε,
ὁ ἁγίασας
ἱδρώτων χεύμασι
σῶν νήσους, ὅσιε,
τοῦ Αἰγαίου, ᾄσμασι νῦν μελιχροῖς
τὰς τιμώσας μνήμην σου
τὴν ἀεισέβαστον.

**Χ**αίροις, ζηλωτά, ὁμότροπε
καὶ μαθητὰ τῶν σεπτῶν
διδασκάλων τῆς πίστεως
καὶ φωστήρων, ὅσιε,
νεαυγῶν στερεώματος
τῆς Ἐκκλησίας,
Νήφων θεόσοφε,
τοῦ Νικοδήμου,
Ἀθανασίου τε
καὶ θεοφάντορος
Μακαρίου, νήψεως καὶ προσευχῆς
κοσμητόρων· ὅθεν σε
λαμπρῶς γεραίρομεν.

**Χ**αίροις, συμπαθείας σκήνωμα
πρὸς τοὺς πτωχοὺς καὶ λειμὼν
πανευώδης πρὸς πάσχοντας
ἀρωγῆς, θεόφιλε
ἀσκητῶν ἐγκαλλώπισμα,
κοινοβιάρχα
πνευματοφόρητε,
ἀγάπης στῦλε
πρὸς πάντα ἔγγιστα,
ὁ ἱλαρότατος
δότης ὑστερήματος, μάκαρ, τοῦ σοῦ,
πάτερ ἀφυλάργυρε
καὶ εὐσυμπάθητε.

**Χ**αίροις, θείας μεταλήψεως
ὁ ἀκλινὴς τηρητής,
ὁ δοξάζων τὸν Κύριον

www.tezaurliturgic.ro

ἀσκεπὴς ἑκάστοτε
καὶ σαφῶς εὐλαβούμενος
τὴν Θεοτόκον,
Κυρίαν Δέσποιναν,
ἧπερ σεμνεῖα
λαμπρὰ ἐδόμησας,
Νήφων, κινήματος
κολλυβάδων πρόμαχε καὶ ποδηγὲ
μοναστῶν ἀλάνθαστε
πρὸς βίον κρείττονα.

**Δόξα. Ἦχος πλ. α΄.**

Τὸν παραδραμόντα διαγωγὰς τὰς ματαίας καὶ προσύλους
καὶ ἐν ἡσυχίᾳ καὶ νήψει ἀνύσαντα τὸν βίον,
Νήφωνα τὸν θεόπνευστον κοινοβιάρχην ἐγκωμίοις καταστέψωμεν·
οὗτος γὰρ ἐν ὁσιότητι πολιτευσάμενος
καὶ τῶν πατρῴων δογμάτων ὑπερμαχήσας
Μονὰς τῇ Εὐαγγελιστρίᾳ Θεοτόκῳ περιβλέπτους ἀνήγειρε·
καὶ νῦν σὺν Ἀγγέλοις ἐν ἀστραποβόλῳ πόλῳ χορεύων
Χριστῷ τῷ πανευϊλάτῳ Κυρίῳ ἀδιαλείπτως πρεσβεύει
ὑπὲρ τῶν εὐφημούντων αὐτοῦ τὰ παλαίσματα.

**Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος β΄**

Σήμερον ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου· σήμερεον ὁ
Ἄναρχος ἄρχεται καὶ ὁ Λόγος σαρκοῦται·
αἱ δυνάμεις τῶν οὐρανῶν ἀγάλλονται
καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται·
οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν·
οἱ Ποιμένες τὸ θαῦμα κηρύττουσιν·
ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν·
Δόξα ἐν ὑψίστοις Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη
ἐν ἀνθρώποις εὐδοκία.

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

******************************************************

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.**
**Ἀπόστολος πρὸς Γαλάτας. (Κεφ. ε´ 22 - στ´ 2 ).**
**Εὐαγγέλιον κατὰ Λουκᾶν. (Κεφ. ιγ´ 10 - 17 ).**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον**

Πύργος εὐσεβείας νεοπαγὴς
καὶ φανὸς σοφίας
τῆς ἐνθέου νεολαμπὴς
ὤφθης, Νήφων μάκαρ,
ἡσυχαστῶν λαμπρότης
καὶ ἀγωγῆς ἀρίστης
στῦλε νεόφωτε.

**Ἕτερον**

Εὐαγγελιστρίας σεπτῆς μονῆς
τῆς Σκιάθου, δεῦτε,
τὸν δομήτορα εὐλαβῶς,
Νήφωνα τὸν θεῖον,
ὡς εὐσεβείας κέρας
καὶ νήψεως πυξίον,
ἀνευφημήσωμεν.

**Δίστιχον**

**Νήφειν ἀεὶ ἀξίωσον Χαραλάμπη**
**Νήφωνα μάκαρ τὸν ἐξυμνήσαντά σε.**

**Σκέπε Ἄγγελον σῆς Μονῆς ἐν Σκιάθῳ**
**ἡγούμενον, Νήφων, τιμῶντά σε ἄγαν.**

## ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ

## ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ

www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ

## ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΝΗΦΩΝΑ

## ΤΟΝ ΝΕΟΝ ΚΟΙΝΟΒΙΑΡΧΗΝ

**Κτίτορα ἱερῶν Μονῶν ἐν ταῖς νήσοις τοῦ Αἰγαίου καὶ τῆς τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου ἐν Σκιάθῳ.**

*

*

* * * * *

*

*

ΑΘΗΝΑΙ 2001

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ

## ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΝΗΦΩΝΑ

## ΤΟΝ ΝΕΟΝ ΚΟΙΝΟΒΙΑΡΧΗΝ

**Κτίτορα ἱερῶν Μονῶν ἐν ταῖς νήσοις τοῦ Αἰγαίου καὶ τῆς τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου ἐν Σκιάθῳ.**

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΗ΄ Δεκεμβρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*************************************************************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον , μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῆς νήσου Χίου τὸν θειότατον γόνον,
πνευματοφόρον οἰκιστὴν ὄρους Ἄθω,
τῆς Ἰκαρίας σέμνωμα, τῆς Πάτμου πυρσόν,
τῶν Λειψῶν κοσμήτορα καὶ Σκιάθου τὸ κλέος,
Νήφωνα τὸν ὅσιον, εὐφημήσωμεν πόθῳ
ἀναβοῶντες· ῥῦσαι συμφορῶν
καὶ νοσημάτων τοὺς σοὶ καταφεύγοντας.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;

www.tezaurliturgic.ro

Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Νήφων νέε ὅσιε, νήφειν ἀεὶ ἀξίωσόν με. Χ. "**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Νεόφωτε λύχνε ἡσυχαστῶν
καὶ φέγγος πατέρων,
Νήφων, ὅσιε ἀσκητά,
τοῦ βίου μου φώτισον τὰς τρίβους,
ἵνα ὁδὸν διανύσω χρηστότητος.

Ἡλίου ἀκτῖσι τοῦ νοητοῦ
λαμπόμενος, Νήφων,
σκοτομήνην μου τῶν παθῶν
πρεσβείαις σου λῦσον φωτοφόροις
πρὸς τὸν φωτίζοντα πάντα τὰ πέρατα.

Φλεγόμενος, οἴμοι, ὑπὸ πυρὸς
παθῶν χαμαιζήλων
δρόσισόν με, σὲ δυσωπῶ,
τῷ ὕδατι παρακλήσεών σου
πρὸς τὸν Χριστὸν μόνον σῴζειν δυνάμενον.

**Θεοτοκίον**

Ὡς μήτηρ φιλεύσπλαγχνος τοῦ Χριστοῦ,
Παρθένε Μαρία,
τῆς ψυχῆς μου τὸν μολυσμὸν
ῥοαῖς τῶν ἀμέτρων οἰκτιρμῶν σου,
εὐλογημένη, ταχὺ ἀποκάθαρον.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

www.tezaurliturgic.ro

Νεαυγέστατον ἄστρον
τῆς τοῦ Χριστοῦ πίστεως,
Νήφων θαυμαστέ, ὁ δομήσας
μάνδραν περίδοξον
τὴν τοῦ Εὐαγγελισμοῦ
ἐν τῇ Σκιάθῳ, σκοτείαν
ἀγνωσίας σκέδασον
τῶν προστρεχόντων σοι.

Νῦν θερμῶς δυσωπῶ σε·
ἀπὸ κακῶν, ὅσιε
καὶ ἐπηρειῶν ψυχοκτόνων
τοῦ πολεμήτορος
ἀπάλλαξόν με ταχὺ
τῷ ἀδιστάτῳ καρδίᾳ
πόνους σου γεραίροντι,
Νήφων, πρὸς θέωσιν.

Ἐπωδύνων ταχέως
τὴν συνοχήν, ὅσιε,
λῦσον καὶ τῶν θλίψεων ζάλην
παῦσον προσφύγων σου,
ὡς δεδεγμένος πολλὴν
παρὰ Ὑψίστου τὴν χάριν,
Νήφων ἀξιάγαστε,
Πνεύματος σκήνωμα.

**Θεοτοκίον**

Εὐεργέτην τοῦ κόσμου
σωματικῶς τέξασα,
τῶν σωματικῶν ἀλγηδόνων,
Δέσποινα, ῥῦσαί με
καὶ τὴν στολήν μου ψυχῆς
ἐκ λογισμῶν ἀκαθάρτων,
Μῆτερ, ἀποκάθαρον
σοῦ τῇ χρηστότητι.

www.tezaurliturgic.ro

Χαρίτωσον
καὶ καταξίωσον νήφειν τοὺς σοὺς ἱκέτας,
πνευματέμφορε ἀσκητά, σοφὲ Νήφων, ὅσιε,
νεόφωτε φάρε τῆς εὐσεβείας.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Πρεσβεύων Χριστῷ ἀπαύστως τῷ οἰκτίρμονι
μὴ παύσῃ, σεπτέ, ὑπὲρ τῶν εὐφημούντων σε,
Νήφων, πάτερ ἰσάγγελε,
τοῦ Αἰγαίου νήσων διάκοσμε,
ἵνα τοῦ βίου πέλαγος καλῶς
οἱ σὲ ἀνυμνοῦντες διαπλεύσωμεν.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Οἱ πιστῶς καταφεύγοντες
σοῦ τῇ προστασίᾳ πληροῦνται χάριτος,
Νήφων, καὶ εὐχαριστήριον
ὕμνον ἐξυφαίνουσί σοι χαίροντες.

Σωτηρίαν ἐξαίτησαι
καὶ ζωῆς ἀγήρω μετόχους ποίησον,
Νήφων μάκαρ, τοῖς ἱκέταις σου,
ἡσυχίας κόσμημα πολύτιμον.

Ἱερώτατον σκήνωμα
προσευχῆς καὶ νήψεως, Νήφων πάνσοφε,
νήφειν πάντας καταξίωσον
τοὺς ἀνευφημοῦντάς σου τὰ σκάμματα.

**Θεοτοκίον**

www.tezaurliturgic.ro

Εὐσυμπάθητε Δέσποινα,
τὸν κυριευθέντα ὑπὸ τοῦ δαίμονος
ἀπολύτρωσαι καὶ δεῖξόν μοι
μετανοίας τρίβον τὴν σωτήριον.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Νήφων θαυμαστέ,
τῆς μανίας τοῦ ἀλάστορος
καὶ δεινῶν δυσχερειῶν ῥῦσαι ἡμᾶς
καταφεύγοντας τῇ θείᾳ ἀντιλήψει σου.

Ἦμάρ μοι λαμπρὸν
μετανοίας ἐξανάτειλον
τῷ ἐν σκότει ἀνομίας ζοφερῷ,
Νήφων ἔνθεε, ἱκέτῃ σου καθεύδοντι.

Φέγγει σῶν εὐχῶν
οὐρανόθεν, Νήφων, σκέδασον
τὴν σκοτόμαιναν κακότητος δεινῆς
καὶ ἀνόμου πολιτείας μου, κραυγάζω σοι.

**Θεοτοκίον**

Ἔπιδε ἡμῖν
ἐκ τοῦ θρόνου, Μητροπάρθενε,
σοῦ Υἱοῦ προσδεχομένη τὰς λιτὰς
τοῦ σοῦ δούλου καὶ παράσχου μοι τὰ πρόσφορα.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἰσχύος με πλῆσον, Νήφων ὅσιε,
θριαμβεῦσαι τὸν μισόκαλον ὄφιν,
ὁ τὰς αὐτοῦ πανουργίας συντρίψας
σκληραγωγίᾳ, νηστείᾳ καὶ δάκρυσιν
ἐν τοῖς ἐσχάτοις τοῖς καιροῖς,
ἀσκητῶν τῶν ἀρχαίων ὁμόζηλε.

Νηφάλιε, ἄκακε, πραΰτατε
καὶ σεμνὲ ἡσυχαστά, Νήφων μάκαρ,
ἡσυχασμοῦ ὁ μεταλαμπαδεύσας
φῶς εἰς τὰς νήσους Αἰγαίου τοῦ Ἄθωνος,
δεόμενος τοῦ Λυτρωτοῦ
ὑπὲρ πάντων μὴ παύσῃ τιμώντων σε.

Ἀνάστησον ἐκ βυθοῦ φαυλότητος
τοὺς πιστῶς ἀποζητοῦντας σὴν χάριν,
δομῆτορ θεῖε μονῆς περιδόξου
ἐν τῇ Σκιάθῳ τῇ νήσῳ, θεόφιλε
Νήφων, τοῦ Εὐαγγελισμοῦ
τῆς σεμνῆς καὶ πανάγνου Θεόπαιδος.

**Θεοτοκίον**

Ἐπίβλεψον οὐρανόθεν, Δέσποινα,
καὶ ἐπίσκεψαι τοὺς σὲ ἀνυμνοῦντας,
εὐλογημένη Παρθένε, Μαρία,
ὡς ἀκαταίσχυντος πάντων ἀντίληψις,
παραμυθία, βοηθὸς
καὶ προστάτις ἀεὶ τῶν τιμώντων σε.

Χαρίτωσον
καὶ καταξίωσον νήφειν τοὺς σοὺς ἱκέτας,
πνευματέμφορε ἀσκητά, σοφὲ Νήφων, ὅσιε,
νεόφωτε φάρε τῆς εὐσεβείας.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῇ ἀντιλήψει σου, Νήφων, προστρέχοντες
δυσπραγιῶν καὶ κινδύνων λυτρούμεθα
καὶ θείας πληρούμεθα χάριτος

www.tezaurliturgic.ro

καλῶς ἀνῦσαι τὸ στάδιον θλίψεων·
διόπερ ἐκθύμως ὑμνοῦμέν σε.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 33 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Β**ίον ἀκηλίδωτον
ἐν προσευχῇ, ἀκτησίᾳ,
νήψει καὶ ἀσκήσεως
πόνοις, Νήφων ὅσιε,
πεπολίτευσαι
καὶ ζωῆς κρείττονος
ἤδη ἠξιώθης,
ἡσυχίας ἐγκαλλώπισμα,
κρηπὶς σεμνότητος
καὶ φιλανθρωπίας διάκοσμε·
διὸ παρακαλοῦμέν σε·
δέχου ἱκετῶν σου αἰτήματα
καὶ Χριστὸν δυσώπει
ἡμᾶς ἐν εὐπραγίᾳ καὶ χαρᾷ
καὶ ὁμονοίᾳ τὸ βρότειον
διανύειν στάδιον.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

**Ἰ**ατρεύων τὰς νόσους
τῶν ψυχῶν καὶ σωμάτων
μὴ παύσῃ, ὅσιε,

www.tezaurliturgic.ro

τῶν ἐπικαλουμένων
τὸ θεῖον ὀνομά σου,
Νήφων, πίστεως σέμνωμα,
καὶ βάθρον νεοπαγὲς
εὐχῆς καὶ ἡσυχίας.

Ἁγιάζεις ἀπαύστως
τοὺς πιστῶς ἐκζητοῦντας
τὴν θείαν χάριν σου,
πνευματοφόρε Νήφων,
ἐκβλάστημα τῆς Χίου
εὐθαλὲς καὶ ἀνάστημα
τοῦ Ἄθω πνευματικόν,
ἁγιασμοῦ ὡς ῥεῖθρον.

Ξύλου νῦν ἀπολαύων
τῆς ζωῆς σὺν Ἀγγέλοιςς
ἐν θείοις δώμασι
Χριστὸν ἀεὶ δυσώπει
καὶ τοὺς προσφεύγοντάς σοι
ἀξιῶσαι τῆς κρείττονος
καὶ ἀενάου χαρᾶς
τῆς ἐν τῷ πόλῳ, Νήφων.

**Θεοτοκίον**

Ἰατρὲ τῆς ψυχῆς μου
τῆς δεινῶς ἀσθενούσης,
Θεογεννήτρια,
ἀπόκρουσον μανίαν
τὴν κατ' ἐμοῦ τοῦ πλάνου
βροτοκτόνου καὶ σῶσόν με,
ἵνα ἐκ βάθους ψυχῆς
ἀεί σε μεγαλύνω.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ὡς ἡσυχίας
πυρσὸν καὶ νήψεως φάρον
σὲ ἀεὶ μεγαλύνοντες, Νήφων,

www.tezaurliturgic.ro

τὰς πρὸς τὸν Δεσπότην
αἰτούμεθα λιτάς σου.

Σκέδασον πᾶσαν
ἐπιφορὰν τοῦ ἐχθίστου
καὶ συγχώρησιν αἴτει πταισμάτων,
Νήφων, τοῖς ἐν πίστει
σὲ ἀνυμνολογοῦσι.

Ὁδήγησόν με
πρὸς ἀτραποὺς μετανοίας,
ὁ σαφῶς ὁδηγήσας ἀζύγων,
Νήφων, τὰς χορείας
πρὸς δόμους σωτηρίας.

**Θεοτοκίον**

Νῦν δυσωπῶ σε·
Θεοκυῆτορ Παρθένε,
ἐκ δεινῶν νοσημάτων ἀτρώτους
φύλαττε σοὺς δούλους,
ἰάτειρα ὡς θεία.

**ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.**

Μὴ παύσῃ οὐρανόθεν
πάντων προστατεύειν
τῶν εὐφημούντων τὴν πάνσεπτον μνήμην σου,
ὁσίων κλέϊσμα, Νήφων, νέον τῆς πίστεως.

Εἰρήνευσον τὸν βίον,
Νήφων, σῶν προσφύγων
τῶν ὡς βροτόν σε ἰσάγγελον μέλποντα
καὶ ζηλωτὴν ἡσυχίας θεοφορούμενον.

Χαρίτων σου τὸ πλῆθος,
Νήφων, ἀνυμνοῦντες
τὴν σὴν αἰτούμεθα θείαν ἀντίληψιν,
ἣν δίδου πᾶσι τοῖς πόθῳ σε μακαρίζουσι.

www.tezaurliturgic.ro

**Θεοτοκίον**

Μητράνανδρε Παρθένε,
Νήφωνος πρεσβείαις
παθῶν ὑπέρτερον δεῖξον τὸν δοῦλόν σου,
ἵνα ὑμνῶ σε ἀπαύστως ὡς κόσμου σώτειραν.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, νήσου Χίου γόνος λαμπρός,
σέμνωμα τοῦ Ἄθω,
ἐγκαλλώπισμα τῆς Λειψοῦς,
Σάμου, Ἰκαρίας,
Σκιάθου τε καὶ Πάτμου,
κοινοβιάρχα νέε,
Νήφων μακάριε.

Πύργος εὐσεβείας νεοπαγὴς
καὶ φανὸς σοφίας
τῆς ἐνθέου νεολαμπὴς
ὤφθης, Νήφων μάκαρ,
ἡσυχαστῶν λαμπρότης
καὶ ἀγωγῆς ἀρίστης
στῦλε νεόφωτε.

Χαίροις, εὐσυμάθητε ἀσκητά,
ὁ μονὴν δομήσας
θείαν τοῦ Εὐαγγελισμοῦ
τῆς ἁγνῆς Παρθένου
ἐν νήσῳ τῆς Σκιάθου,
πνευματοφόρε Νήφων,
θεοειδέστατε.

Χαίροις, εὐσεβούντων ὁ ἀρωγός,
Νήφων, καὶ προστάτης
τῶν σπευδόντων σοι ταπεινῶς
καὶ ἐκδεχομένων
ταῖς θείας σου πρεσβείας

www.tezaurliturgic.ro

πρὸς τὸν Θεὸν τῶν ὅλων
τὸν εὐσυμπάθητον.

Χαίρων ἠκολούθησας τῷ Χριστῷ,
Νήφων, δι' ἀγώνων
ἐγκρατείας καὶ προσευχῆς
καὶ τὸν νοῦν καθάρας
τῆς τῶν παθῶν κηλῖδος
ἐλλάμψεως ἐπλήσθης
θείας, θεσπέσιε.

Εὐαγγελιστρίας σεπτῆς μονῆς
τῆς Σκιάθου, δεῦτε,
τὸν δομήτορα εὐλαβῶς,
Νήφωνα τὸν θεῖον,
ὡς εὐσεβείας κέρας
καὶ νήψεως πυξίον,
ἀνευφημήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἀρετὴν τὸν ἀρτίως φιλοῦντα, νήφοντα
καὶ τῶν πατέρων τῶν πάλαι
ἀσκητικὴν ἀγωγὴν
τὸν ζηλοῦντα, θεῖον Νήφωνα, τιμήσωμεν
φάρον ὡς νήσων τηλαυγῆ
τοῦ Αἰγαίου ἀστραπαῖς
φωτίζοντα εὐσεβείας
ψυχὰς τὰς ἐζοφωμένας
θερμὰς αὐτοῦ λιτὰς αἰτούμενοι.

www.tezaurliturgic.ro

**Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Νήσου Χίου τὸν γόνον, ὄρους Ἄθωνος ἄνθισμα
καὶ ἡδύπνουν νήσων Αἰγαίου ἄνθος ὕμνοις τιμήσωμεν,
τὸν κτίτορα τοῦ Εὐαγγελισμοῦ
μονῆς ἐν τῇ Σκιάθῳ τῆς λαμπρᾶς,
θεῖον Νήφωνα, ἐκθύμως
ὡς ἀσκητὴν θεόπνουν ἀνακράζοντες·
Δόξα, τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα, τῷ σὲ στεφανώσαντι,
δόξα τῷ δεδοκότι σοι ἡμῖν
πρέσβυν ἀκοίμητον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Ἔχων παῤῥησίαν πρὸς Θεόν,
Νήφων, θεοείκελε πάτερ,
ὡς νέος ἡσυχαστὴς
καὶ ἀλείπτης ἄριστος
ἀζύγων, πρέσβευε
περιστάσεων ῥύεσθαι,
κινδύνων, ἀνάγκης,
βλάβης τε κακώσεως
καὶ πάσης θλίψεως
πάντας τους προσφεύγοντας πίστει
τῇ σῇ ἀντιλήψει, παμμάκαρ,
ἵνα βίον ἤρεμον ἀνύσωμεν.

Δέσποινα, πρόσδεξαι......

Τὴν πᾶσαν ἐλπίδα μου......

**Δίστιχον**

**Δίδου σὴν χάριν, Νήφων κοινοβιάρχα,**
**Χαραλάμπει σπεύδοντα σῇ μεσιτείᾳ.**

**ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ**